ὁ ἕκτος Ιεθερααμ τῆς Αιγλα γυναικὸς Δαυιδ· οὗτοι ἐτέχθησαν τῷ
Δαυιδ ἐν Χεβρων.
6 [6]Καὶ ἐγένετο ἐν τῷ εἶναι τὸν πόλεμον ἀνὰ μέσον τοῦ οἴκου
Σαουλ καὶ ἀνὰ μέσον τοῦ οἴκου Δαυιδ καὶ Αβεννηρ ἦν κρατῶν
7 τοῦ οἴκου Σαουλ. [7]καὶ τῷ Σαουλ παλλακὴ Ρεσφα θυγάτηρ Ιαλ·
καὶ εἶπεν Μεμφιβοσθε υἱὸς Σαουλ πρὸς Αβεννηρ Τί ὅτι εἰσῆλθες
8 πρὸς τὴν παλλακὴν τοῦ πατρός μου; [8]καὶ ἐθυμώθη σφόδρα Αβεν-
νηρ περὶ τοῦ λόγου Μεμφιβοσθε, καὶ εἶπεν Αβεννηρ πρὸς αὐτόν
Μὴ κεφαλὴ κυνὸς ἐγώ εἰμι; ἐποίησα ἔλεος σήμερον μετὰ τοῦ οἴ-
κου Σαουλ τοῦ πατρός σου καὶ περὶ ἀδελφῶν καὶ γνωρίμων καὶ
οὐκ ηὐτομόλησα εἰς τὸν οἶκον Δαυιδ· καὶ ἐπιζητεῖς ἐπ' ἐμὲ ὑπὲρ
9 ἀδικίας γυναικὸς σήμερον; [9]τάδε ποιήσαι ὁ θεὸς τῷ Αβεννηρ καὶ
τάδε προσθείη αὐτῷ, ὅτι καθὼς ὤμοσεν κύριος τῷ Δαυιδ, ὅτι
10 οὕτως ποιήσω αὐτῷ ἐν τῇ ἡμέρᾳ ταύτῃ [10]περιελεῖν τὴν βασιλείαν
ἀπὸ τοῦ οἴκου Σαουλ καὶ τοῦ ἀναστῆσαι τὸν θρόνον Δαυιδ ἐπὶ
11 Ισραηλ καὶ ἐπὶ τὸν Ιουδαν ἀπὸ Δαν ἕως Βηρσαβεε. [11]καὶ οὐκ
ἠδυνάσθη ἔτι Μεμφιβοσθε ἀποκριθῆναι τῷ Αβεννηρ ῥῆμα ἀπὸ τοῦ
φοβεῖσθαι αὐτόν.
12 [12]Καὶ ἀπέστειλεν Αβεννηρ ἀγγέλους πρὸς Δαυιδ εἰς Θαιλαμ, οὗ
ἦν παραχρῆμα, λέγων Διάθου διαθήκην σου μετ' ἐμοῦ, καὶ ἰδοὺ ἡ
χείρ μου μετὰ σοῦ τοῦ ἐπιστρέψαι πρὸς σὲ πάντα τὸν οἶκον
13 Ισραηλ. [13]καὶ εἶπεν Δαυιδ Ἐγὼ καλῶς διαθήσομαι πρὸς σὲ δια-
θήκην, πλὴν λόγον ἕνα ἐγὼ αἰτοῦμαι παρὰ σοῦ λέγων Οὐκ ὄψει
τὸ πρόσωπόν μου, ἐὰν μὴ ἀγάγῃς τὴν Μελχολ θυγατέρα Σαουλ
14 παραγινομένου σου ἰδεῖν τὸ πρόσωπόν μου. [14]καὶ ἐξαπέστειλεν
Δαυιδ πρὸς Μεμφιβοσθε υἱὸν Σαουλ ἀγγέλους λέγων Ἀπόδος μοι
τὴν γυναῖκά μου τὴν Μελχολ, ἣν ἔλαβον ἐν ἑκατὸν ἀκροβυστίαις
15 ἀλλοφύλων. [15]καὶ ἀπέστειλεν Μεμφιβοσθε καὶ ἔλαβεν αὐτὴν παρὰ
16 τοῦ ἀνδρὸς αὐτῆς, παρὰ Φαλτιηλ υἱοῦ Σελλης. [16]καὶ ἐπορεύετο ὁ

5 ιεθεραααμ $BO^{-A}$] -θαρ- A†, ιεθραμ L† | αιγλα pau.] -γαλ $BO^{-A\dagger}$, αιγας A†, αγλα L || 6 του $1^{0}$ > O | του $2^{0}$ BL†] > O || 7 ιαλ $B^{(\dagger)}$] ιολ A; αια $O^{-A\dagger}$: cf. 21 8. 10. 11; σειβα L†, σιβατου Ioseph. Antiq. VII 23 Niese | μεμφιβοσθε $BO^{-A}L$] ιεβοσθε $A^{r}$: item $A^{s}$ in 8, cf. 11; nomen μεμφιβοσθε antiquis temporibus ex 4 4 huc et in alios locos (cf. 11 4 1 et 2 8) pro ισβοσθε uel ιεβοσθε irrepsit, cf. Iud. 16 4 || 8 εποιησα ελ./σημ.] tr. O† | γνωριμων] pr. περι $LB^{c}$ || 9 οτι ult. > $O^{-A}L$ | εν — fin. > O† || 10 εως] pr. και OL || 11 μεμφιβ. BOL] ιεβοσθε M: item in 14. 15, cf. 7 || 12 εις θαιλαμ ου ην] εις θηλαμου γην A†, > $O^{-A\dagger}$, εις χεβρων L†, εις γιβρωνα Ioseph. Antiq. VII 24 Niese | παραχρημα > L† | σου $1^{0}$] συ A†, > L† | του > B | προς ult.] επι A† || 13 εγω καλως BO] tr. L | σου ult. > B† || 14 εξαπεστ.] εξ > A | προς μεμφ.(cf. 11) υιον σ./αγγελους] tr. OL† | ελαβον] + εμαυτω $OL^{127\dagger}$ || 15 παρα ult. > $O^{-A}L^{\dagger}$ | σελλης] μ pro ς L, λαεις A†, λαιε $O^{-A\dagger}$ || 16 επορ.] + συν αυτη O†, + μετ αυτης L†